τὸν ἄλλον χρόνον θρασύτερος, ἢ κατὰ τύραννον ἐμφανὴς ὤν, τανῦν οὐδὲ τοῖς ἀναγκαιοτάτοις ὁρῶμαι. ἐγὼ δὲ ἐν δεῖ ἔσεσθαι ἤδη φεύγω πάντας ἀνθρώπους. πίστιν γὰρ οὔτε παρ' ἄλλοις ποτὲ, οὔτ' ἐν φίλοις βεβαίαν εὗρον. διὸ πάντα πολυπόνως ἐπιγνοὺς, τὴν ἀοίκητον ἐρημίαν ἐν Λιβύῃ, τοῦ μετ' ἀνθρώπων βίου αἱρετωτέραν ὑπολαμβάνω, καὶ τὰ θηριώδη τὰ νομάδων ἐνδιαιτήματα. μᾶλλον γὰρ ἐμπελασθεὶς λέουσι ἀκινδύνως συναυλισαίμην ἂν, καὶ συνθηθείην ἑρπετοῖς πᾶσιν, ἢ τοῖς νῦν οὖσιν ἀνθρώποις. τοιοῦτον ἡμῖν αἱ πολλαὶ καὶ ποικίλαι καὶ συνεχεῖς τύχαι ἐμπειρίας καὶ πονηρίας μετέδωκαν.

Πολυγνώτῳ. λε

ΚΑὶ τοῦ δωρεῖσθαί τί σοι πρὸς τὸ μέλλον, καὶ τοῦ γράφειν πεπαύσομαι, Πολύγνωτε. πέπαυσο δὲ καὶ σὺ τῶν ὑπὲρ ἐμοῦ πρὸς πολλοὺς ἐπαίνων. τοῖς γὰρ ἔργοις μου κατηγορῶν, δι' ὧν οὐδὲν προσδέχῃ τῶν πεμπομένων ὑπ' ἐμοῦ, τοῖς λόγοις με ἐγκωμιάζεις· οὐδὲ τοῦτο συνιεὶς, ὅτι λόγος ἔργου σκιὰ παρὰ τοῖς σωφρονεστέροις πεπίστευται.

Κλεο-

periori tēpore audacius quàm tyranno conueniat, in hominum oculis uerſatus ſim, in præſentia ne ab amiciſsimis quidem uidear. Ego uerò cupidius iam omnes fugio homines. Fidem enim neq; apud alios ullos, neq; in amicis firmā deprehendi. Quapropter omnibus magna induſtria perſpectis, deſertiſsimam in Libya ſolitudinem præ hominum conuictu eligendam cenſeo, habitaculáq; Nomadum à feris trita. Magis enim adiunctus leonibus abſq; periculo cohabitarem, cubaremq́; tutius cum omnibus reptilibus, quàm cum huius ſeculi hominibus. Tantum nobis multi ac uarij continuiq; caſus experientiæ aſtutiæq́; contulerunt. Vale.

Polygnoto. 35

Laudatorē ſua munera non accipientem reprehendit.

ET à donando tibi quicquā in poſterum, & à ſcribendo mox ceſſabo, Polygnote: ceſſa autē & tu à laudibus, quibus me apud multitudinē extollis. factis enim me accuſans, non recipiendo ea quæ tibi à me miſſa ſunt, ſermonibus me celebras: neq; hoc intelligis, quòd ſermo facti umbra eſſe à modeſtioribus creditus ſit. Vale.

Κλεομενίδῃ. λϛ

Τῶν δωρεῶν ὅσα μέν σοι πρὸς τὴν γυμνασιαρχίαν ἀνήκουσι, πέπομφα μὲν ἐλαίου μετρητὰς διακοσίους· καὶ πυρῶν μεδίμνους τετρακοσίους. ὅσα δὲ νεότητός ἐστι τῶν υἱῶν σου, τόν τε οἶνον, καὶ τοὺς γραμματεῖς παῖδας, καὶ τὰ Στησιχόρου ποιήματα· εἰ μὴ καὶ ταῦτά τις τὰ δῶρα συρακουσίων ἀποπτύσειε, νεωτέρων εἵνεκεν πραγμάτων ἀπὸ τυράννου πεπέμφθαι.

Γοργίᾳ. λζ

Τὰ μὲν ἄλλα τῆς ἐπιστολῆς σου πάντα καλῶς ἡγοῦμαι γεγράφθαι· τὴν δὲ πρόκλησιν τὴν περὶ τοῖς μέλλουσι, προτεθεῖσαν νυνὶ μάλιστα λογίζομαι. ἐγὼ γὰρ οὔτε τελευτὴν, οὔτε τελευτῆς εἶδος φεύγω, σωφρονεῖν ὑπολαμβανόμενος. εἱμαρμένη γὰρ οὐχ ὑπ' ἀνθρώπων νομοθετεῖται. καὶ καθόλου δὲ τοὺς ἐξετάζοντα περὶ τῶν τοιούτων, ἢ δεδιότα περὶ τῶν ἐσομένων κακῶν, λίαν εὐήθη νομίζω, εἴ τις ἢ προγνῶναι τὸ μέλλον δύνασθαι πέπεισται, ἢ προγνοὺς φυλάξασθαι. εἰ δέ τις τὸ μὲν γνῶναι δυνατὸν ἡγεῖται, τὸ δὲ φυλάξασθαι ἀδύνατον, τί χαίρειν ἐσπούδακεν εἰδέναι τὸ γενησόμενον, ὅπερ ἀγνοοῦντος καὶ γινώσκοντος ἔσται;

οὐ μὴν

Cleomenidi. 36

MVnera illa, quæcunq; quidem ad gymnaſij præfecturam cõueniunt, miſimus tibi, olei nempe metretas ducentas, & tritici medimna quadringenta: quæcunq; autem conueniunt iuuentuti, filio tuo, uinum nempe, ac pueros ſcribas, Steſichoriq; poemata: ſi modò non & hæc dona Syracuſanorum quiſpiam ſuſpecta habet, quaſi ob res nouas à tyranno miſſa ſint. Vale.

Narratio de miſsis ei muneribus.

Gorgię. 37

CAetera quidem in tua epiſtola omnia probè ſcripta arbitror: adhortationem autem tuam futuris de rebus, ſuperfluam nunc maximè cenſeo. Ego enim neq; mortem, neq; mortis ſpeciem fugio, modeſtè in hoc ſentire me exiſtimans. Fatum enim non gubernatur ab hominibus. Et in ſumma, interrogantem anxiè de talibus, aut metuentem de futuris bonis, nimis ſtultum eſſe iudico, ſi quis uel præſcire ſe poſſe futura perſuaſus eſt: aut ſi præſciat, cauere. Si quis uerò noſſe quidem futura poſſibile arbitratur, cauere autem impoßibile: cuius rei gratia noſſe ſtuduit, quid eſſet futurum, quod tam eo ſciente quàm neſciente erit?

Cognitionẽ futurorũ, curáq; de ijs eleuat.

οὐ μὴν δὴ εἰ ἔστι σοι τὸ γνῶναι, ἔστι καὶ φυλάξα-
σθαι τοὐπιὸν ἀνυστὸν εἶναι φύσει τις, ὡς γενέ-
σθαι καὶ διατάξαι καὶ μεταθεῖναι ἄλλο ἀντὶ τοῦ
προεγνωσθέντος χείρονος ἐπιεικέστερον, ὥστε
λυσιτελῆσαι δύναιτ' ἄν, ἐγὼ μὲν οὐκ οἶμαι.
θεοῦ γὰρ ἔργον τὸ τοιοῦτον, οὐκ ἀνθρώπου. ἐν-
θυμηθεὶς δέ τις τῶν λεγομένων ἀπὸ τοῦ διὸς
αἰακὸν καὶ μίνω καὶ ῥαδάμανθυν, καὶ τοὺς ἄλ-
λους ἡμιθέους, οὔτε ἀθανάτους γενομένους, οὔτε
ἄλλως ἀποθανόντας, ἢ κατὰ τὴν ἰδίαν ἕκαστον
εἱμαρμένην, ἢ περὶ μοίρας, ἢ θανάτου δυσα-
νασχετῶν ἢ φοβούμενος, ἐμπεδόφρων εἶναί
σοι δοκεῖ. μάλιστα μὲν οὖν πειρῶ καὶ σύ τοι-
αύτην διάνοιαν ἐν τοῖς ἰδίοις περὶ τοῦ ἀφα-
νοῦς ἔχειν, ὡς μηδὲν περὶ αὐτοῦ φροντίζειν·
ἐπεί τοι περὶ ἡμῶν, ὡς μηδὲν μεριμνώντων ἐπί-
στασο.

Δημοτέλει. λη

Συγγνώμην ἔχω σοι τῶν παραινέ-
σεων. τύραννος γὰρ οὐ γεγονὼς, τυ-
ράννῳ συμβουλεύεις καταθέσθαι τυραννί-
δα. θεῶν μὲν οὐδένα μοι διδοὺς ἐγγυητὴν
τῆς ἀσφαλείας, ᾧ τάχα ἂν καὶ ἐπείσθην.
ἀξιόπιστον δὲ σαυτὸν ἡγούμενος ἀνάδοχον,
καὶ ὑπὲρ τηλικούτου πράγματος· σχεδὸν
οὐκ εἰδὼς, ὅτι τοῦ κτήσασθαι τὴν τοιαύτην

ἀρχὴν,

Atqui ſi pariter & præſcire ac cauere futura quis dixerit poßibile eſſe, ut nempe fieri ac diſponi & ſurrogari aliud mitius in præſciti peioris locũ poſſe arbitretur, quã nã re id efficere poſſet? Ego ſanè non puto (effici poſſe). Dei enim hoc opus eſt, non hominis. Quum quis autem animaduerterit, eos qui feruntur à Ioue prognati eſſe, Aeacũ & Mino atq; Rhadamanthum, aliosq; ſemideos, neq; immortales factos, neque aliter eſſe mortuos, quàm quemq; iuxta proprium fatum: an is, uel moleſtè ferens, uel metuens fatum aut mortẽ, prudens tibi eſſe uidetur? Maximè igitur contende & tu eiuſmodi de obſcuris obtinere mentem, ut nihil de ijs cures: quandoquidem de nobis ſcis, quòd nihil anxiè ſolliciti ſimus. Vale.

Demoteli. 38

Veniam do tibi admonitionum tuarum. Nam cum nunquam fueris tyrannus, tyranno conſulis tyrannidem deponere: deorum quidem mihi neminem dans ſponſorem tutelæ, cui fortaßis haberẽ fidem. Temetipſum autem fide dignum arbitraris tanta pro re fideiuſſorem: ignarus propemodum, quòd talem depo-

Cur tyrannidẽ ut deponat hortanti, non obtẽperet.

ἀρχὴν, ἀσφαλέστερόν ἐστι τὸ καταθέσθαι. ὥσπερ γὰρ ἰδιώτῃ τοῦ τυραννῆσαι πολλῷ λυσιτελέστερόν ἐστι τὸ μὴ τυραννῆσαι· οὕτω τυραννοῦντι τοῦ καταθέσθαι, τὸ μὴ καταθέσθαι τὴν ἀρχὴν τῆς τυραννίδος. καθόλου δὲ τὸ περὶ τυραννίδος οὕτως, ὡς περὶ γενέσεως καὶ ζωῆς ἀνθρώπου φρονητέον. οὔτε γὰρ ἄνθρωπος ἀκούσας περὶ τῆς ἑαυτοῦ γενέσεως, εἴ πως γένοιτο δυνατόν, ὅσοις μέλλει δυσκόλοις ἐγκυρήσειν παρὰ τὸν βίον, γεννηθῆναι βουληθείη πότ' ἄν: οὔτ' ἰδιώτης ἐσπουδακὼς τυραννῆσαι, προπυθόμενος τὰς ἐν τυραννίδι κακοδαιμονίας, τύραννος ἄν, ἀλλ' οὐκ ἰδιώτης ἐθελήσειε καταβιῶναι. οὕτω, δημότελες, ἀνθρώπῳ τοῦ μὲν γενέσθαι συμφερώτερον ὁρῶ, τὸ μὴ γενέσθαι· τοῦ τυραννῆσαι δέ, τὸ μεῖναι μέχρι ζωῆς ἰδιώτην. εἰ μὲν οὖν πρὸ τῆς τυραννίδος τὰ περὶ αὐτῆς μοι διηγησάμενοι κακὰ συνεβούλευσαν, πάντως ἂν ἐπείσθην μὴ τυραννῆσαι. τύραννος δὲ ὤν, καὶ διὰ τὴν ἀνάγκην τῆς ἀρχῆς εἰς πολλὰ προεπταικώς, οὐχ οἷόν τε ἀνθρώπῳ τινὶ πεισθείην καταθέσθαι τὴν ταύτης ἐξουσίαν, ἀλλ' οὐδὲ θεῶν τῷ δυναστεύοντι. καταθέμενον γὰρ τὴν ἀρχὴν, οἶδ' ὅτι δεῖ πολλὰ καὶ δεινὰ παθόντα πρὸς τῶν τυραννηθέντων, οὕτω καταστρέψαι τὸν βίον.

Πολυ-

deponere principatū periculoſius ſit, quàm acquirere. Quemadmodū enim homini priuato multo utilius eſt tyrannidē nō occupare, quàm occupare: ita tyranno nō deponere, quàm deponere tyrannidis principatū. In ſumma uerò, de tyrannide ita, ut de hominis natiuitate ac uita, ſentiendū eſt. Neq; enim homo qui audiſſet de ſua natiuitate (ſi quo modo fieri poſſet) in quot res difficiles per uitā eſſet incaſurus, unquam uellet naſci: neq; homo priuatus tyrannidem affectans, auditis antè tyrannidis infelicitatibus, tyrannus mallet quàm priuatus uitā agere. Sic, mi Demoteles, utilius uideo homini eſſe, non naſci, quàm naſci: & dum uiuat, manere priuatum, quàm tyrannum agere. Si tu mihi quidem ante occupatam tyrannidem, enarratis illius malis, conſilium dediſſes, omnino perſuaſus eſſem, ne tyrannidē occuparem. Quum autem iam tyrannus ſim, & propter principatus neceſſitatem in multis offēderim, à nullo poſſum homine perſuaderi, ut huius poteſtatem deponam: imò ne à deorū quidem ullo, qui dominetur. Scio enim, deponentē me principatū, oportere multa & atrocia paſſum ab ijs in quos tyrannidē exercui, ita uitam finire. Vale.

Πολυστράτῳ. λθ

Καὶ τοῖς ἄλλοις ἅπασι φίλοις ἐπέ-
σταλκα διὰ ταχέως ἐλθεῖν εἰς ἀκρά-
γαντα. καὶ σοῦ δέομαι, παραγενέσθαι πρὸ ὀλυμ-
πίων. βούλομαι γὰρ τὸ μάλιστα συνεστάτην
σύλλογον ἀγαγὼν, τὴν περιέπουσαν ἐπιμέ-
λειαν, ὥσπερ ἄλλοτε, καὶ νῦν κρίνασθαι·
καὶ τὸ πρᾶγμα ἐπισφαλέστερον καὶ μεγαλειότερον
γνώμην λαβεῖν, ἀτόπου μὲν ἢ δυσκόλου με-
ταδώσειν οὐδενός. ἀρκέσω γοῦν τοῖς ἐμαυτοῦ.
πεισθησόμενος δὲ οἷς ἂν εἴπητε, ἵνα μενού-
σης μὲν τῆς ἀρχῆς ἐν οἷς ἐστὶ, πολλάκις ὑμᾶς
δεξιώσωμαι. πεσούσης δὲ ταύτης, ἐὰν δοκῇ
τῷ δαίμονι, τῶν ὑστάτην λαβόντων προσαγό-
ρευσιν, μνήμονες εὐσεβεῖς ὧν ἐφιλοτιμήθη-
μεν εἰς ὑμᾶς γένοισθε. ἥκετε δὴ ἀνυπερθέ-
τως, τῇ προτέρᾳ προθυμίᾳ κεχρημένοι πρὸς
φάλαριν, ὃν μάλιστα ὑμεῖς γινώσκετε.

Γαυρόλᾳ. μ

Ἐδεξάμην τὸν ὑπὸ σοῦ πεμφθέντα μοι
στέφανον ὁλκῆς χρυσῶν ἑξακοσίων, ὃν
τύχης μὲν ἕνεκα καὶ τῆς τοῦ πέμψαντος φι-
λοτιμίας εἴληφα. στεφανωσάμενος δὲ, καὶ
τὴν ἡμέραν μίαν, ἐν ᾗ τοῖς πατρῴοις θεοῖς
ἐπινίκια τῆς πρὸς λεοντίνους μάχης ἐβουθύτουν,

τὸν

Polyſtrato. 39

ET aliis amicis omnibus per epiſtolas mandaui, ut quàm primum ſe Agrigentum conferant: & te obſecro, ut uenias ante Olympia. uolo enim beneuolentiſsimis congregatis, decentem eorum curam, quemadmodum aliàs, ita & nunc gerere, ac reb. de periculoſis & magnis capere conſilium. Nullius quidem abſurdæ difficiliſq; rei uos facturus ſum participes (meis enim ipſius contentus ero) pariturus autem iis quæ dixeritis, ut manente mihi quidem principatu, in quibus eſt, ſæpius uos lautè ſuſcipiam: cadente autẽ eo, quum uiſum fortunæ fuerit, poſtremùm à me appellati, memores piè ſitis beneficiorum quæ in uos ſtudioſè ac prolixè contuli. Venite abſq; dilatione, priſtina erga Phalarin uſi promptitudine, quẽ uos præ cæteris maximè cognoſcitis. Hortatur ut ad conciliũ ueniat.

Paurolæ filio. 40

SVſcepi coronam mihi abs te miſſam, aureorum ſexingentorum pondere. quam ob fortunam quidem, mittentiſq; largitatem accepi: coronatus autem ea unam diem, in qua paternis diis ob conſecutam pugnæ aduerſus Leontinos uictoriam, mactaui uictimas, domum ipſam De corona ſibi ab eo dono miſſa

τὸν αὐτοῦ ἀπέσταλκα δῶρον ἐρυθίᾳ τῇ μητρί σου. οὐδεμίαν γὰρ εὗρον ἀξιωτέραν τοιαύτῃ κοσμηθῆναι πολυτελείᾳ, ἢ μητέρα. γένοιο δ' ἂν ἡμῖν καλλίων σὺ ὁ πρεπωδέστερος στέφανος, εἰ τὸ τῶν γονέων εὐχῆς ἄξια φρονῶν εὐσεβείης.

Ἱππολυτίωνι. μα

Ἐπιτρέπω σοι πρός με παραγενέσθαι, καθὼς ἀξιοῖς. ὅρκον δὲ οὐδένα σοι δίδωμι, τοῦ μηδέ σε πείσεσθαι κακόν, ἀλλὰ πίστιν. εἰ δέ μου τῇ τῶν λόγων ἀπιστεῖς ὑποσχέσει, νῦν με ταῖς ἀληθείαις ἀδικεῖς, οὐχ ὅτε κατηγορήθης. εἰδὼς γάρ με μηδενὶ πώποτε παραβεβηκότα πίστιν, ὡς κατεγνωκὼς, ὅρκῳ μετέρχῃ. καὶ τί διαφέρει πρὸς εὐσέβειαν, ὅρκον ἢ πίστιν συγχέαι; ἀμφότερα γοῦν ἡ γνώμη βεβαιοῖ. ἔῤῥωσο.

Γολυτίμωνι. μβ

Εἰ μὲν ἀπὸ τῶν σεαυτοῦ τρόπων στοχαζόμενος ἀπιστεῖς ἐμοί, σύνεσιν ἐμοῦ καταδικάζεις, οὐ πονηρίαν· εἰ δὲ ἀπὸ τῶν ἐμῶν, ἀγνοίᾳ μου πολὺ διημάρτηκας. τοσοῦτον γὰρ ἀπέχω τοῦ παραβῆναι πίστιν, ὥστε ἀπ' ἐμαυτοῦ καὶ τοῖς ἄλλοις πέρα τοῦ δέοντος προσέχων, ὡς βεβαιοτέραν πίστεως ἐχούσαις εὐσέβειαν, πολλάκις ἐσφάλην. ἧκε οὖν ἐμοὶ πεισθεὶς

ἄνευ

ipſam miſi matri tuæ Erythiæ. Neminē enim reperi digniorē, qui tam precioſo dono exornaretur, quàm matrem. Fieres autem tu nobis pulchrior decentiorq; corona, ſi parentum uoto digna ſapere inuenireris. Vale.

Hippolytioni. 41

PErmitto tibi ut me accedas, ſicuti rogas. Iuſiurandum autem tibi nullum do, te nihil paſſurum mali, ſed fidem. Si autem meorum uerborū promiſſioni non credis, me nunc uerè iniuria afficis, non quando accuſatus es. Nam cum ſcias me nulli unquam tranſgreſſum eſſe fidem, quaſi me damnaueris; iureiurando tentas. Et quid intereſt ad pietatem, iuſiurandum uel fidem confundere? Vtraq; enim uoluntas rata facit. Vale.

Tutum acceſſum ad ſe precato, fide data, non iuramento cauet.

Polytimoni. 42

SI tu quidem à tuis ipſius moribus facto iudicio, mihi non credis, prudentiæ me condemnas, non maliciæ: ſin uerò à meis, multum ob ignorantiam de me aberraſti. Tantū enim abſum à tranſgredienda fide, ut ultrò etiam alijs, plus quàm conueniret, attendens, quaſi ſtabiliorem fide obtinerent pietatem, ſæpenumero lapſus ſim. Veni igitur, mihi fidem habens

Fidē ſuam prædicat.

ſine

αὐτὸν δόλου καὶ ἀπάτης· πεισόμενος ἄδικον μὲν οὐδέν, μαρτυρήσων δὲ πρὸς ἅπαντας, ὅτι Φάλαρις οὐ ψεύδεται πίστιν.

Τεύκρῳ. μγ

Ἀριστομένει τῷ σῷ, τὸ χωρίον παρεδόθη, καὶ Ἱππολυτίων ἀφείθη τῶν ἐγκλημάτων. σὺ δ' ὡς ἐπαγγέλλῃ, προσδοκῶμεν. ἐγὼ δὲ ἔῤῥωμαι· εἰ τοῦτ' ἐστὶν ἐῤῥῶσθαι, τὸ πολλοῖς ἐπιχειρήσαντα, καὶ τῶν πλείστων περιγενόμενον διὰ τὰ χείρω, μηδ' ἀμελεῖσθαι καὶ ἐπὶ τῶν βελτιόνων.

Νικίᾳ. μδ

Ἐφ' οἷς μισεῖς σου τὸν υἱόν, ὅτι τοὺς σοὺς οὐ μιμεῖται τρόπους, ὑπὸ τῶν ἄλλων πάντων φιλεῖται. συνῶν οὖν, ὅτι πάντων οἱ τοῦτον φιλοῦντες, σὲ μισοῦσι.

Ἀδειμάντῳ. με

Ἀκούω σε διαφέρεσθαι πρὸς τὸν ἀδελφόν, ὁπότερος ὑμῶν ἐστὶ χείρων, σοῦ μὲν ἐκεῖνον λέγοντος, ἐκείνου δὲ τοὔμπαλιν σέ. ἐγὼ δ' οἴομαι, μᾶλλον δὲ καλῶς πέπεισμαι, τῶν μὲν ἄλλων πάντων ἐκεῖνον εἶναι κακίω· σοῦ δὲ οὔτε ἐκεῖνον, οὔτε ἄλλων ἀνθρώπων οὐδένα. ἔῤῥωσο.

Αἰγεστέοις. μϛ

Παύσασθέ μου τὰς φυγάδας ὑποδεχόμενοι· Φάλαριν γὰρ οὔτ' εὖ ποιῶν τις,

οὔτε

ſine dolo ac deceptione. paſſurus quidem nihil iniqui: teſtificaturus autem apud omnes, Phalarin non fallere fidem. Vale.

Teucro. 43

ARiſtomeni tuo prædium traditum eſt, & Hippolytion à criminibus abſolutus. Te uerò, ut promittis, expectamus. Ego uero bene ualeo: ſi hoc bene ualere eſt, multa aggreſſum, plurimaq; conſecutum, ob deteriora pœnitudine affici etiam de melioribus. Vale. Narratoria

Nicię. 44

PRopter quæ tuũ odiſti filium, quòd tuos non imitetur mores: ob ea ab alijs omnibus amatur. Intellige igitur, quòd omnes qui hunc amant, te oderunt. Vale. In malum patrem.

Adimanto. 45

AVdio te diſsidere cũ fratre, uter ueſtrûm ſit deterior: te quidem illum dicente, illo autem uiciſsim te. Ego uerò puto, imò pulchrè ſcio, illum quidem alijs omnibus eſſe peiorem, te uerò neq; illum neq; alium ullum hominem. Vale. In duos peſſimos fratres.

Aegeſtanis. 46

CEſſate à recipiendo meos exules. Phalarin enim nemo neq; beneficijs affi- Minatur eis ab exemplis.

ciens,

οὔτε κακῶς ἐνίκησε. μάθοιτε δ' ἂν τὸ τοιοῦτον, εἰ τὰ μελιταίων καὶ λεοντίνων ἴδοιτε. οἷς μὲν γὰρ ἐλευθερίας, λεοντίνοις δὲ δουλείας, πρᾶγμα αἴτιον ἐγενόμην. οἱ μὲν, ὅτι τειχέων κατέδυσαν· οἱ μελιταῖοι δὲ, ὅτι καταδυομένην ἐβούλοντο σῶσαι. ἔρρωσθε.

Αντισθένει καὶ θεοτίμῳ. μζ

ΤΩν ὑπ' ἐμοῦ πεμφθεισῶν δωρεῶν, ἀντισθένης μὲν τὸ μέρος ἐδέξατο, θεότιμος δὲ οὔ. διὸ τῷ μὲν οἶδα χάριν, τὸν δὲ οὐ μέμφομαι. ὁ μὲν γὰρ οὐδὲν ἠλάττωσέ με λαβών, ὅδ' οὐδὲν ἐζημίωσε.

Μνησικλεῖ. μη

ΜΗ μεταμέλου χρηστὸς γενόμενος, εἰ βούλει τῆς τοῦ πατρὸς πονηρίας ἀπολιμπανόμενος νομισθῆναι· ἐπεὶ καὶ τὴν πρὸ τοῦ χρόνου τὴν πρὸς καμαριναίους ὑπόληψιν προσαπολεῖς. ἀποκρίσεσι γὰρ καὶ ῥοῦ δόξεις, οὐκ ἀληθείᾳ χρηστὸς γεγονέναι.

Επιστράτῳ. μθ

ΩΣ πρὸς εὐτυχοῦντα γράφειν ἔοικας. ἐγὼ δέ σοι τὰ περὶ ἐμοῦ συνελὼν, ἐν βραχεῖ δηλώσω. εἰ τοῦ τ' ἐστὶν εὐτυχεῖν, τὸ γεννηθέντα μὴ ὀρφανίας πειραθῆναι, νέον

δὲ

ciens, neq; iniuria, ſuperauit. Diſcere autẽ hoc poſſetis, ſi res Melitenſium ac Leontinorum ſciretis. Illis enim libertatis, Leontinis autem ſeruitutis autor fui. His quidẽ, quòd triremem meam ſubmerſerũt: Melitenſibus autem, quòd ſubmerſam ſeruare uoluerunt. Valete.

Antiſtheni ac Theotimo. 47

MVnerum à me miſſorum Antiſthenes quidem partem recepit, Theotimus autem non. Quapropter illi quidem habeo gratiam, hunc autem non reprehendo. Ille enim recipiens, nihil me reddit pauperiorẽ: hic autem nullo affecit damno. Valete. De munificentia ſua.

Menecli. 48

NE te pœniteat benignitatis, ſi patris prauitatem reliquiſſe uis exiſtimari: quoniam & ſuperioris temporis opinionem apud Camarinenſes ſimul perdes. Pro tempore enim ſimulaſſe, non reuera benignus fuiſſe uideberis. Vale. Bonitatem ſimulatã ad tempus notat.

Epiſtrato. 49

VIderis tibi quaſi ad fortunatum ſcribere. Ego autem res tibi meas ſummatim ac breuibus exponam. Si hoc eſt fortunatum eſſe, natum mox orbitatem experiri, iuue- Infelicitatẽ ſuã demonſtrat.

δὲ ὄντα καὶ πολίτασιν ἐκπεσεῖν τῆς πατρίδος, ἀφελέσθαι δὲ τὰ πλεῖστα τῆς οὐσίας, τραφῆναι δὲ ἐν βαρβάροις ἔθεσι, φεύγειν δὲ ἐξ ἁπάσης γῆς ἀδικούμενον· ἐπιβουλεύεσθαι δὲ μὴ μόνον ὑπ' ἐχθρῶν, ἀλλὰ καὶ τῶν εὐεργετουμένων· τυραννήσαντα δέ, ἀπεύχεσθαι καὶ τὸν ἐν τυραννίδι βίον, εὐτυχοῦμεν.

Ὀνήτορι. ν

ΚΑὶ σύ, καὶ πάντες οἱ φίλοι ὅσοι τ' αὖ μοι χαρίζοισθε, μήτε ἐξετάζοντες περὶ ἐμοῦ μηδέν, μήτε πολυπραγμονοῦντες, εἰ μή τι βουλοίμην. τοιαῦτα γάρ ἐστι τὰ κατὰ τύχην περὶ ἡμᾶς, ὡς μᾶλλον ἥδεσθαι τοὺς ἐχθροὺς ἀκούσαντας, ἢ λυπηθῆναι τοὺς φίλους μὴ συνυπακούσαντας.

Ἐτεονίκῳ. να

ΤΗς μὲν τῶν ἄλλων ἔχθρας ὅσοι τι κακόν με δεδράκασιν ὡς παρακαλεῖς, κἂν ἐπιλαθοίμην. θνητοὺς γὰρ ὄντας, ἀθάνατον ὀργὴν ἔχειν, ὥς φασί τινες, οὐ προσήκει. τοῦ μέντοι πύθωνος εἰς ἐμαυτὸν δυσμενείας, οὐ μόνον ζῶν, ἀλλ' οὐδ' αὖ ἀποθανών, ὃ πᾶσι συμβαίνει τοῖς τετελευτηκόσιν, ἐπιλαθοίμην. ὁ γὰρ τὰ μέγιστά με τῶν κακῶν ἐργασάμενος, οὗτός ἐστιν. ὁ μετὰ τὴν ἐμὴν

nem factum, per infortunium ex patria eijci, perdereq́; plurimam bonorum partem, educari in barbaris moribus, fugere iniuria affectũ ex omni terra: inſidias pati non ſolum ab inimicis, uerum etiam ab ijs quos affeceris beneficio: deniq; tyrannum factum, abominari uitam in tyrannide: ſanè fortunati ſumus. Vale.

Onetori. 50

ET tu & omnes amici in hoc mihi certè gratificari poteſtis, ut ne quid rerum mearum examinetis, neq; curioſè agatis, niſi ſi quid uelim. Res enim noſtræ iuxta fortunam eiuſmodi ſunt, ut magis lætentur inimici, qui eas audierint: quàm doleant amici, qui non audierint. Vale.

Arcanorũ indagatores perſtringit.

Eteonico. 51

ALiorum quidem inimicitias, quicunq; mali mihi aliquid fecerunt, etiamſi obliuiſcerer, quemadmodũ hortaris (nã cum mortales ſimus, immortalem iram gerere (ut quidam aiunt) non conuenit) hoſtile tamen Pythonis aduerſus me odium, non ſolum non uiuus, ſed ne mortuus quidem (quod tamẽ omnibus mortuis contingit) obliuiſcerer. Is enim eſt, qui maximis me affecit malis, quiq; poſtquam actus

Queritur de maleficio ſibi à Pythone illato.

ἐμὴν φυγὴν ὀβρυθίαν τὴν γυναῖκα, βουλομένην ἐμὲ διώκειν, αἰσχυνομένην δὲ τούτῳ γήμασθαι, φαρμάκῳ διαφθείρασ.

Μεγαρεῦσιν. νβ

Οὐκ ἐλπίζων τὴν ὑμῶν ἀπολήψεσθαι χάριν, τὰς τριήρεις ὑμῶν ἁλούσας μεθῆκα προφανῶς κατ᾽ ἐμοῦ πλεούσας. εἰ γὰρ ἐμνημονεύετε χάριτος, οὐκ ἂν ἐπελάθεσθε, ὅτι πρότερον τρὶς ὑμᾶς ἀπορήσαντας ἐν σιτοδείᾳ σέσωκα.

Λεοντίνοις. νγ

Λεωνίδαν ὃν διεπέμψατε κατάσκοπον τῶν ἐμῶν πραγμάτων ἀλόντα, δυνάμενος ἀποκτεῖναι, σέσωκα, οὐχ ὑμῖν χαριζόμενος· ἀλλ᾽ ἵνα μὴ ζητῶ, τίς ὑμῖν σαφῶς ἀπαγγέλλῃ τὴν παρασκευὴν τὴν καθ᾽ ὑμῶν πολέμου. καὶ γὰρ ἐμοὶ πιστῶς αὖ βεβαίως τὰ περὶ ὑμῖν ἐδήλωσεν, ὅτι παρ᾽ ὑμῖν ἐνδεῶς ἐστὶ, πλὴν λιμοῦ καὶ φόβου. τούτων δὲ ὑμᾶς φησι λίαν εὐπορεῖν.

Ἱμεραίοις. νδ

Ἐγὼ πάντα μὲν ὑπὲρ στησιχόρου πράττειν ἕτοιμός εἰμι· καὶ, εἰ πρὸς αὐτὴν ἔδει με τὴν μοῖραν ὅπλα ἀράμενον περὶ τοῦ θανάτου διαγωνίσασθαι, οὐκ ἂν ὤκνησα,

ſum in exilium, Erythiam uxorem meam, uolentem me ſequi, renuentemq́; illi nubere, ueneno perdidit. Vale.

Megarenſibus. 52

NOn quòd me ſperem à uobis gratiam recepturum, triremes ueſtras captas dimiſi, manifeſtè contra me nauigantes. Nam ſi beneficij memores eſſetis, non profectò eſſetis obliti, quòd antea ter uos, iam in frumentorum penuria morientes, ſeruauerim. Valete. Ingratitudinē exprobrat.

Leontinis. 53

LEonidam, quem negociorum meorũ exploratorem emiſiſtis, captũ, cum poſſem interficere, uiuum conſeruaui: non uobis gratificari uolens, ſed ut non quærã, qui uobis manifeſtè annunciet belli contra uos apparatum. Nam mihi fideliter abſq; tormẽtis res ueſtras expoſuit, quòd omniũ nempe rerum magna laboretis penuria, præterquam famis ac timoris. Horum autem uobis nimis magnam ait ſuppetere copiam. Valete. Cur ſpeculatorem eis remiſerit.

Himerenſibus. 54

EGo pro Steſichoro quidem omnia facere paratus ſum: etiamſi aduerſus ipſum fatũ acceptis armis de morte certandũ eſſet, in me De morte & laudibus Steſichori.

κινῆσαι, ἐφ' ᾧτε θεῖον ἄνδρα περὶ κάλλους
ὑμνῳδίας ἐπαινούμενον, ὑμῖν τε καὶ τοῖς
ἄλλοις ἀνθρώποις περισώσασθαι. ὃν ἐξ
ἁπάντων αἱ καθαρώταται θεαὶ μοῦσαι
πρὸς ὑπόμνημα τῶν ὑμνοπόλων, δι' οὗ μέλη καὶ
χοροὺς ἐξηνέγκαν. λογίσασθε δέ, ὡς ἐστί
ποτ' ἂν ταφῇ Στησίχορος, Ἱμεραῖος ἔτι. καὶ
πάσης μὲν πατρίδος κληθήσεται διὰ τὴν
ἀρετήν. μενεῖ δὲ ὑμέτερος. ἅμα δέ, μηδὲ οἴε-
σθε ἕνα τῶν νεκρῶν Στησίχορον, ἀλλ' ἐν τοῖς
ποιήμασιν εἶναι, ἃ κοινὰ πάντων ἀνθρώ-
πων πεποίηται. δέξασθ' ὦ Ἱμεραῖοι παρὰ
μὲν ὑμῖν γεννηθέντα, τραφῆναι τὸν ἥρωα
καὶ παιδευθέντα βιῶναι, γηράσκοντα
ἐν ὕμνοις καὶ μέλεσι. παρὰ δὲ Καταναί-
οις τοῦτο βουληθεῖσιν, εἴτε δυνηθεῖσιν, εἰς
ἄλλό τι τῆς φύσεως μεταβαλούσης, τε-
λευτῆσαι. καὶ ἐν μὲν Ἱμέρᾳ νεὼς ἱστά-
σθω Στησιχόρου, μνημεῖον ἀρετῆς ἀθανά-
του· ἐν δὲ Κατάνῃ τὸ σπουδαζόμενον ὑπ'
αὐτῶν, τάφος. περὶ μὲν δὴ τούτου ὅπως ἂν
ἄμεινον δόξειεν ὑμῖν αὐτοῖς, πράσσετε, μή-
τε χρημάτων τὸ ἐπ' ἐμοί, μήθ' ὅπλων ἐν-
δεεῖς εἶναι νομίζοντες, μήτ' ἀνδρῶν. ἃ δὲ προ-
νοεῖσθε,

nulla eſſet mora, ut diuinum uirum, deq́; hymnorum pulchritudine laudatum uobis alijsq́; hominibus conſeruarem: quem præ omnibus poetis lyricis puriſſimæ deæ Muſæ ſingulari affecerunt honore: per quem carmina chorosq́; ediderunt. Expendite autē, quòd Steſichorus, ubicunq; etiam ſepeliatur, Himerenſis ſit. Et propter uirtutem quidem, cuiuſuis patriæ dicetur ciuis, manebit autem ueſter. Simul autem ne putetis Steſichorum unum eſſe ex mortuis, ſed in poematibus exiſtere, quæ omnibus hominibus facta ſunt communia. Magni beneficij loco accipite, ô Himerenſes, quòd heros ille, apud uos quidem natus, educatus, in literisq́; eruditus ſit & uixerit, inq́; hymnis carminibusq́; componendis peruenerit ad ſenectutem: apud Catanenſes autem, qui hoc uoluerunt ſiue potuerunt obtinere, in aliud mutata natura, defunctus ſit. Et Himeræ quidem templum erigatur Steſichori, immortale uirtutis monimentum: Catanæ autem (quod ipſi affectarunt) ſepulchrū. De hoc igitur, ut uobis ipſis uidetur eſſe optimum, ita facite, uobis neq; pecunias (quantum in me fuerit) neq; arma defutura exiſtimantes, neq; uiros. Vnum autem præcogi

νοεῖσθε, ὡς οὔτε ἐλθοῦσιν ὑμῖν πόλιν ἐν Σικελίᾳ, Σικελιώταις οὖσιν ἀπρεπές· οὔτε μὴ ἐλθοῦσιν ὑμῖν πόλιν ἐν Σικελίᾳ, Σικελιώταις οὖσιν εὐπρεπές· οὔτε μὴ ἐλθοῦσιν ἀσφαλές. τὸν δὲ ἄνδρα μὴ στένετε, μήτ᾽ ὀλοφύρεσθε, κινοῦντές τι τῆς ἐπ᾽ αὐτῷ τύχης. τέθνηκε μὲν γὰρ τὸ σῶμα τὸ Στησιχόρου· τοὔνομα δὲ παραλαβὼν ὁ αἰώνιος αἰών, εὐκλεὲς μὲν ἐν βίῳ, μακάριον δὲ ἐν μνήμαις ἀναθήσεται. τὰ μέντοι μέλη καὶ ἔπη, καὶ παντοῖα ποιήματα παραινῶ, καὶ δημοσίᾳ ἐν πᾶσι τοῖς ἱεροῖς ἀναγράψασθαι, καὶ ἰδίᾳ ἕκαστον ἐν τῷ σφετέρῳ οἴκῳ. τότε γὰρ ἂν ἀφανίζοιτο Στησίχορος, ὅταν τούτων τὶ μὴ φυλάττηται, εἴς τε τοὺς ἄλλους ἀνθρώπους διαπέμψασθε ἐπιμελῶς· εἰδότες, ὅτι μᾶλλον τοῦ γράψαντος ἀνδρὸς, ἡ θρέψασα πόλις τὸν τοιοῦτον, ὑπὸ πάντων θαυμασθήσεται.

Θρασυλύσει. νε

Τὸ φρούριον ὃ σὺ πορθῶν ἐγκατέλιπες, ὑπὸ τῶν περὶ τεῦκρον ἐξ ἐπιδρομῆς καθηρέθη. τοῦ δὲ περὶ τὴν ἐπιστολὴν τάχους, συντομώτερον ἴσθι ληφθὲν τὸ χωρίον.

Λεά-

tate, quòd neq; capientibus uobis ciuitatem in Sicilia, cum Siculi ſitis, indecorum: neq; non capientibus uobis ciuitatem in Sicilia, cum Siculi ſitis, decorum: neque non capientibus, tutum ſit. Virum autem ne lugeatis, neque deploretis, mouentes ac incuſantes quicquam illius fortunæ. Steſichori enim mortuum quidem eſt corpus, nomen autem accipiẽs efficax æuum: glorioſum quidem in uita, beatum autem in recordationibus conſecrabit (æternitati.) Carmina ſanè ac uerſus & omnigena illius poemata, hortor ut publicè in omnibus templis perſcribantur, ac priuatim in ſuis ab unoquoq; ædibus. Tunc enim aboleretur Steſichorus, cũ horum aliquid nõ cuſtodiretur. Quin ſtudioſe etiam ad alios homines quaquauerſus dimittite, ſcientes, quòd ciuitas, quæ talem uirum educauit, magis apud omnes erit admirationi, quàm ipſe uir qui illa ſcripſit. Valete. Hic textus uidetur confuſus.

Thraſenori. 55

CAſtellũ, quod tu oppugnans reliquiſti, à Teucri militibus facto impetu deſtructum eſt. Supra uerò epiſtolæ celeritatem, adhuc breuius ſcito, locum illum eſſe captum. Vale. Narratio.

Ἀβάριδι. νϛ

Πυνθάνομαί σε χαίρειν ὁμιλίαις ἀνδρῶν ἐπιφανῶν, ἐξ ὑπερβορέων εἰς τοὺς καθ' ἡμᾶς ἀφικέσθαι τόπους. Πυθαγόρᾳ μὲν οὖν τῷ φιλοσόφῳ καὶ Στησιχόρῳ τῷ ποιητῇ, καὶ πολλοῖς ἄλλοις τῶν ἐλλογίμων Ἑλλήνων, συμμεμιχέναι, καὶ πολλὰ παρ' αὐτῶν προσμεμαθηκέναι, ζητεῖν δὲ καὶ πλείοσιν ἱστορίαις χαίρειν ὧν οὐκ οἶσθα ἐντυχεῖν. εἰ μὲν οὖν προκατήχησαι ταῖς ἐμαῖς διαβολαῖς, καὶ πέπεισαι τοιοῦτον εἶναί με, ὁποῖον οἱ διαβάλλοντες εἰσάγουσι, μεταπείθειν οὐ ῥᾴδιον· εἰ δὲ τὸ ἀληθὲς ἐξετάζεσθαι δικαίοις, παρὰ πᾶσι μὲν ἀνθρώποις, μάλιστα δὲ παρὰ σοφοῖς ἀνδράσιν, ἐλθὲ πρός με συγγενησόμενος, ὥσπερ ἄλλοι πολλοὶ τῶν ἀξίων λόγου. γνώσῃ γὰρ ἐκ πείρας, τά, τε ἄλλα ἅπαντα κάλλιον καὶ σεμνότερον· εἰ δὲ δεῖ εἰπεῖν μηδὲν ὀκνήσαντα, καὶ φιλανθρωπότερον, ἢ πρὸς τὴν κατέχουσαν φήμην ἐσχηματισμένα, καὶ τὸν ταῦτα διέποντα καὶ κοσμοῦντα Φάλαριν, οὐδενὸς τῶν σφόδρα ἐπὶ τούτοις θαυμαζομένων ἐνδεέστερον.

Ἀβα-

Abaridi. 56

ACcipio te ob conuerſationẽ cum illuſtribus uiris, ex Hyperboreis in loca noſtra ueniſſe, & cum Pythagora quidẽ philoſopho, cumq; Steſichoro poeta, cũq; alijs quibuſdam præclaris Græcis conuerſatum, multaq; ab illis addidiciſſe, quærere autẽ ob hiſtoriã earum rerum quas ignoras, & cum alijs pluribus congredi. Si tu igitur imbutus es calumnijs, quæ ad uerſum me feruntur, perſuaſusq; es, talem eſſe me, qualem calumniatores introducunt, à perſuaſione abducere te, non eſt facile. Sin autem æquum cenſes, ut uerum examinetur ab omnibus quidem hominibus, maximè uerò à ſapientibus uiris, ueni ad me, mea uſurus conſuetudine, quemadmodum & alij præſtantes uiri multi. Cognoſces enim experientia, cùm alia omnia melius caſtiusq;, & (ſi oportet abſq; contatione dicere) humanius, quàm ut iuxta obtinentem famã ſunt compoſita, tum hæc gubernantem atque ornantem Phalarin, nemine eorum qui propter hæc in admiratione ſunt, inferiorem. Vale.

Siniſtrã de ſe famam amolitur, & ad ſe uocat Abaridem.

Aba-

Ἀβάρεις Φαλάριδι τῷ τυράννῳ. νζ

Ἔδειξας φύσιν οἰκείαν ὕβρεως καὶ ὠμότητος. καί σε ἔτεκεν οὐ γυνὴ καὶ ἀνήρ, ἀλλὰ λέαινα, ἢ σῦς ἄγριος. πιεῖς γὰρ πάντα βίᾳ, ἢ προσέτι ἰσχύι δόξῃ κακῇ καὶ ἀγριότητι. μὴ σύ γε κάλει Ἄβαριν, ὃν σέβη αἴδρα, εἰς πόλιν Ἀκράγαντα. δημότεια γοῦν ἐμοὶ φθόνος καὶ χαλεπότης, καὶ κακὴ ἄγνοια. εἰ δὲ προθύμως με θέλεις ἐλθεῖν εἰς τὸν οἶκον, νόμοις ἑλληνικοῖς χρώμενος, προσκαλοῦ με εἰς σὴν ἑστίαν, καθαρεύων χερσί, καὶ ψυχῇ πρὸς πάντα πολίτην σὸν καὶ ξένον· εἰ δὲ μή, χαίρειν σοι Ἄβαρις λέγει.

Φάλαρις Πολυστράτῳ καὶ Δαΐσκῳ. νη

Ἐγχειρεῖτε, καὶ μὴ μέλλετε δὴ τάχους ἐμοὶ πολεμεῖν. ἐπὶ τοιούτοις δὲ ἄλλοις οἷς δημηγοροῦντες ἐλέγετε, διαβάλλοντές με πρὸς Λεοντίνους, οὔτε φθονοῦμεν ὑμῖν, οὔτε ἀξιοῦμεν συμβαλλόμενοι φιλοτιμεῖσθαι.

Ναυσικλεῖ. νθ

Ἐγὼ μὲν, ὅπερ ἤδη πολλάκις ἐπεσταλκώς σοι τυγχάνω, καὶ Ἑρμοκράτης, ἤ τις ἄλλος εἴρξῃ τὰς παρ' ἐμοῦ δωρεὰς λαβεῖν τὴν Φιλοδήμου θυγατέρα γαμουμένην, ἀποπέμπων δέδωκα. καὶ τὸν ἔπαινον ἴσον

μᾶλλον

Abaris Phalaridi. 57

INgeniũ oſtẽdiſti iniurijs ac crudelitati aſſuetum: teq; genuit nõ mulier & uir, ſed leæna ſusq; agreſtis. Facis enim omnia ui, ac inſuper robore, malaq; exiſtimatione, feritateq;. Ne tu uoces Abarin, pium uirum, in ciuitatem Agrigentum. Aliena enim ſunt mihi, inuidia & immanitas, malaq; ignorantia. Si autem promptè me uis in tuas uenire ædes, legibus utens Græcis, inuita me in tuam domum, purè agens manibus, animaq;, erga quemuis ciuẽ tuum & hoſpitem: ſin minus, Abaris te ualere iubet. Vale. Impietatẽ Phalaridi exprobrat, & uenire recuſat.

Phalaris Polyſtrato & Daiſco. 58

AGgredimini, & ne procraſtinetis, celeriter mecũ bellũ gerere. Propter huiuſmodi enim præmia, quæ dixiſtis in concione, calumniantes me apud Leontinos, neq; inuidemus uobis, nec dehortamur ambitioſe contendere. Valete. Prouocat inimicos.

Nauſicli. 59

EGo quidem (quod iam ſæpius tibi ſcripſi) etiamſi Hermocrates, ſiue quis alius obſtet, ne dona à me miſſa Philodemi accipiat filia nuptum data: attamen miſi, dediq;. Et laudẽ De ſua beneficentia.

æqua-

μᾶλλον δὲ εὐκλείστερον ἔχω. παρ' ὅσον φιλῶ τοῖς συγγενέσιν ὁ τύραννος καὶ μηδὲν προσήκων ἀντεξετάζομαι. πρὸς δὲ τοὺς ὀνειδίζοντας ὅτι χαριζόμενοι πείθομεν, ταύτην ἔχειν τὴν ἀπολογίαν, τὸ μὴ δύνασθαι τοὺς εὐεργετουμένους ἀντὶ φιλοφροσύνης, βίᾳ χρήσασθαι.

Ἀριστολόχῳ. ξ

Ἐπιλαθόμενος ἧς ἔχειν ἡμῶν πονηρίας, καὶ γενόμενος ἄλλος τις πρὸς ἡμᾶς, ἢ οἷος εἶ, χαλεπὸν καὶ καθ' ἑκάστην ὑπόλαβε. μὴ τοῦτο μόνον εἰ πολλάκις ὑπ' ἐμοῦ καὶ καθ' ἑκάστην γε κατηγορείαν τῶν παθῶν, οὐ τοῖς ὁμοίοις ἡμᾶς ἀμείβῃ. ἐγὼ μὲν γὰρ οὐκ ἐάσω χρηστότητα τὴν δοκοῦσαν εἶναί ποτε, τῆς κατ' ἐμαυτοῦ πονηρίας ἐνέγκασθαι δευτέραν αἰτίαν. ἀλλ' εἰ μηδὲ σὺ σεαυτοῦ πρὸς με εὐεργετεῖν βουλημένον φέρῃ, ἡμῶν γοῦν οὕτως ἐχόντων ὧδε οὐ πλεῖστον, τάχα ἂν ἐπιεικέστερος ὀφθείης.

Ἐπιχάρμῳ. ξα

Περὶ τῶν αὐτῶν ὧν σὺ καὶ Δημοτέλης ἡμῖν συνεβουλεύετε ἀποστῆναι τῆς τυραννίδος,

æqualem, imò glorioſiorẽ habeo, in quantum cum huiuſmodi cognatis tyrannus ego, nihilq́; ad eos pertinẽs, comparor. Porrò aduerſus uituperãtes, quòd munera dantes credimus, hanc habemus defenſionem, non poſſe beneficijs affectos, pro beneuolentia uiolentia uti. Vale.

Ariſtolocho. 60

OBlitus prauitatis, quam te habere negabas, factusq́; alius quiſpiam erga nos, quàm qualis es, uidebaris. Difficile hoc, atq; ſingulas per accuſationes, temerariũ penè fuit credere: ego tamen accuſatoribus tuis nolui habere fidem. Inde quanto melior te fuerim, recordare, nõ hoc ſolum, quòd frequenter à me, idq́; ſingulis in accuſationibus, beneficijs affectus, non ſimilia nobis retribuas. Ego enim non ſinam, ut probitas, quæ quibuſdam ineſſe uidetur, maliciæ aduerſum memet ſecundã culpam adferat. Verùm ſi non tibi ipſi, quem ego beneficijs afficere decreui, parcis: nobis ſaltem ita plurimum affectis, (parce) Quod ſi curares, citò humanior conſpicereris. Vale.

Græca hic nõ ſunt integra, ſed quædã deſiderantur: nos utcũq; ſenſum reddidimus, donec aliud nacti erimus exẽplar. Simulationẽ & ingratitudinem exprobrat.

Epicharmo. 61

EIſdem de rebus tu ac Demoteles nobis dediſtis conſilium, ut nempe à tyrannide deſiſtamus.

Cur tyrannidem non deponat.

δος, ταῦτα οὐ διανοοῦντες, ἀλλ' ἀγνοοῦντες διὰ τὴν ἀπειρίαν, οὕτω συνεβουλεύετε. τὸ μὲν γὰρ ἄρξασθαι τυραννίδος, ὀρεγομένῳ· τὸ παύσασθαι δέ, οὐκ ἔτι· διὰ τὸ πολλὰ μὴ δεόντως πρᾶξαι. ὥσπερ οὐδὲ τοξότῃ μεθεῖναι τὸν ὀϊστόν, ἀναλαβεῖν δὲ βεβλημένον. ἀλλ' εἰ μὲν δυνατὸν ὑμῖν ἐστιν ἀνελεῖν τὴν ἀρχὴν τῆς τυραννίδος, τοῦτο δὴ ποιεῖτε. εἰ δὲ τοῦτο ἐστιν ἀδύνατον, ἀδυνατωτέραν ἴστε τὴν ὑμετέραν παραίνεσιν ἐμοὶ δόξαι συμφέρειν.

Τιμοσθένει. ξβ

ΤΩν στρατιωτῶν οἱ μὲν ἡμίσεις εἰς τὸ φρούριον ὑπομείναντες, ἐκκοπτέτωσαν. οἱ δ' ἄλλοι, τὰς ἐπιδρομὰς τῆς θαλάσσης διαχωσάτωσαν. ἵνα τοῦ πλημμελείου διαφυγούσης, ἐνεργὸν ἀντὶ ἀργοῦ γένηται τὸ πεδίον. ἀνακείσθω δ' ἡ περὶ ἑκατέρων αὐτῶν χάρις, τοῖς πρώτοις δὲ καθ' ἑαυτοὺς ἔργον ἀποτελέσασιν.

Ἀριστολόχῳ. ξγ

ΕΙ τὸ Στησίχορον ἀδείας ἀξιωθῆναι παρ' ἡμῖν αἰχμάλωτον ποτὲ γενόμενον, ἐπαίρει σε κατ' ἐμοῦ γράφειν τραγῳδίας, ὡς πᾶσι τοῖς πολίταις ἡμέρως προσενεχθησομένου, πολὺ τῆς ἀληθείας διαμαρτάνεις. οὐ γὰρ ἀποδέχομαι

μαι

ſiſtamus. Hæc uos non maleuolentes,ſed ignorantes,ob inexperientiam ita conſuluiſtis. Incipere enim tyrannidem, in uoluntate appetentis eſt: deſiſtere autem à tyrannide, non iam, eo quòd multa non conuenienter ſint perpetrata: quemadmodum neq; ſagittarius telum emiſſum poteſt recipere. Cæterũ ſi facere poteſtis, ut tyrannidis tollatur principium, id ſanè facite. Sin uerò hoc fieri non poteſt, multo minus fieri poſſe ſcitote, ut mihi ueſtra cohortatio uideatur eſſe utilis. Vale.

Timoſtheni. 62

Militum dimidia pars maneant in caſtello, idq; excindant: aſt alij incurſus maris aggeribus obſtruant, ut exundatione perſiccata, pro campo inculto atq; ocioſo, aptum culturæ reddant. Repoſita autem ſit illis de utroq; opere gratia, qui primi ſuum opus confecerint. Vale. Mandata continet.

Ariſtolocho. 63

Si te id, quòd Steſichorus olim captus uenia à nobis dignatus eſt, impellit ad ſcribendum contra me Tragœdias, quaſi cum omnibus poetis placidè ac manſuetè acturum, multum à ueritate aberras. Non enim approbo in Poetæ malo, qui contra ipſum ſcripſerat, minatur.

μου κοινότητι κριτὰς, ἀλλὰ τοὺς ἀγαθοὺς τῷ κριτῇ· οὐδὲ τοὺς εἰς ἔχθραν ἐμοὶ καταστάντας, ἀλλὰ τοὺς γενναιοτάτους τῶν ἐχθρῶν· σὺ δὲ, κακὸς μὲν κριτὴς, ἄναλκις δὲ ἐχθρὸς ὢν, καὶ τὴν αἵρεσιν καὶ τὴν δύναμιν κριτικὴν στησιχόρῳ σεαυτοῦ προσεικάζεις. γνώσῃ δὲ τὴν ταχίστην τῶν λεγομένων διαίρεσιν, οὐκ εἰς μακράν, οὐ τῶν ὧν εἰς ἐμὲ γράφεις. τοὺς γὰρ ἂν εἴην ἀψυχότατος, εἰ μὴ τὴν σῶν ἐπιγραφὴν δραμάτων. ἀλλ' ὅτι τοιοῦτος ὢν ἐχθρὸς καὶ κριτὴς τῶν αὐτῶν σεαυτὸν καὶ στησίχορον ἀξιοῖς.

Ἀφιλαντι καὶ Θρασυβούλῳ. ξα

ΥΜεῖς μὲν ἀποδεδωκέναι τὰ χρήματα ἃ ἐδανείσασθε, τεύκρῳ λέγετε. ὁ δὲ οὔ φησιν ἀπειληφέναι. οὐκ ἔχω δὲ μὰ τὸν ἡρακλέα, οὔθ' ὑμῖν ἀπιστεῖν, οὔτ' ἐκείνῳ μὴ πιστεύειν. ὁ μὲν γὰρ ἐπιζητεῖ βεβαίωσιν ὑμᾶς ἔχειν τῆς ἀποδόσεως. ὑμεῖς δὲ ὡς φίλῳ πεπιστευκέναι λέγετε. δι' ἅς γε αἰτίας οὐκ ἀπειληφὼς, ἵνα μὴ δόξω περὶ ὑμῶν ἀπιστεῖν ἐν τοῖς λόγοις, ὡς κεκομισμένα προσδέδεγμαι. εἴη μὲν τοι μέχρι παντὸς ἀγνοεῖν μετ' ἀληθοῦς, ἢ τὸ πλεῖον ὑμῶν τοῦτον ὅς τις ἐστὶ, πονηρὸν εὑρεθῆναι. κρεῖττον γὰρ ἡγοῦμαι πολλῶν χρημάτων

τὴν

communne poetas, ſed bonos tantum poetas: neque qui inimicitias mecũ exercent, ſed generoſiſsimos inimicos. Tu uerò malus poeta cum ſis, imbellisq́; inimicus, tam iuxta uirilem animum quàm poeticam facultatem, Steſichoro temetipſum æquas. Cognoſces autẽ celerrimè dicti huius diſtinctionem, non multo pòſt. Non ob ea quæ in me ſcribis, (omniũ enim hominum timidiſsimus eſſem, ſi me uel conuerterem propter tuas fabulas) ſed quòd talis inimicus & poeta quum ſis, iiſdem temetipſum & Steſichorum dignum putes. Vale.

Aphilanti & Thraſybulo. 64

Vos quidem pecunias, quas mutuò accepiſtis, Teucro reddidiſſe dicitis: is uerò negat ſe accepiſſe. Non poſſum mehercle, neq; uobis, neq; illi non credere. Is enim requirit, an habeatis redditionis roborationem: uos autem illi credidiſſe dicitis, ut amico. Quas ob cauſas licet non receperim, ne cuiuſquam tamen uerbis non credere uidear, tanquã relatas & acceptas exiſtimabo. Idq́; tãtiſper, dum uel omnino ignorauero huiuſce rei ueritatem: aut impoſtorẽ illum ex uobis, quiſquis eſt, prauum inuenero. Melius enim puto, multarũ pecunia-

Mutuũ nõ perſolutũ, pro perſoluto ut accipiat.

* roboratione.) apocham, uel ſyngraphã abſolutiõis

τὴν ἀναγκαίαν ζημίαν, ἢ φίλον. ἀνάγκη δὲ τῆς ἀληθείας εὑρεθείσης, ἀντὶ φίλων τοὺς ἀδικοῦντας καὶ ψευδομένους, ἐχθροὺς γενέσθαι.

Γλοπίδῃ. ξε

ΟΥτ᾽ ἂν ἐγὼ γράψαιμι πρὸς Στησίχορον περὶ ὧν ἀξιοῖς· οὔτ᾽ ἂν ἐκεῖνος ἐπινεύσειεν, εἴς τινα τῶν οὐκ ἔτι ζώντων ἐξενεγκεῖν μέλος, εἰ καὶ γράψαιμεν ἡμεῖς. ἀπόχρη δέ μοι χάριν εἰληφέναι παρ᾽ αὐτοῦ, τὴν ἐπὶ τῇ Νικοκλέους γυναικὶ ποίησιν. εἰ δέ τι βούλει παρ᾽ ἡμῶν αἰτεῖν, οὗ τινος ἡ ἐξουσία οὐκ ἐπ᾽ ἀλλοτρίαν, ἀλλ᾽ ἐπὶ τὴν ἐμὴν ἄνεισι γνώμην, ἐπίστελλε.

Τηλεκλέδῃ. ξϛ

ΙΔίᾳ τινὶ χρώμενος γνώμῃ, πρὸς πολλοὺς ἤδη τῶν ἐμῶν ἑταίρων διείλεξαι. ὅτ᾽ ἴσως διαπειθόμενος, ὃ καὶ γέγονεν, εἰς ἐμὲ κομισθῆναι τοὺς λόγους, ὡς οὐκ ἐχρῆν μηδὲ τὸν δημιουργὸν τοῦ ταύρου Περίλαον, ἄλλους κατεργάσασθαι, τῷ τρόπῳ τοῦ αὐτοῦ αἰκίας. οὐ γὰρ ἴδιον λύειν ἔπαινον. ἐγὼ δὲ οὐδὲ τῆς ἐπὶ Περιλάῳ τιμωρίας ἐπαινούμενος, ἐπιστρέφομαι. τιμωρὸς γὰρ οὐκ ἐγενόμην ἐπαίνου χάριν, ὅτι τῆς ἐπὶ τοῖς ἄλλοις κολάσεως διαβαλλόμενος ἄχθομαι. δόξης γὰρ αἰσχρᾶς ἢ καλῆς, ἄμυνα κεχώ-

rum iacturā facere, quàm amicorū. Neceſſum eſt autem inuenta ueritate, pro amicis, eos qui fecerūt iniuriam, ſuntq́; mentiti, inimicos fieri. Valete.

Pelopidi. 65

Petitioni cur non ſatisfecerit.

NEq; ego ſcribere poſſem Steſichoro de ijs quæ petis: neq; ille annueret, in quēpiam qui † adhuc uiuat, carmē edere, etiā ſi ſcriberemus nos. Sufficit autem mihi, quòd beneficiū ab eo receperim, poemate in Nicoclis uxorem compoſito. Si quid autem uis à nobis petere, cuius facultas non ad alienum, ſed ad meum redit arbitrium, ſcribe. Vale.

† adhuc.) Negatio οὐκ in Græco uidetur redundare. id quod ex epiſt. 78. colligi poteſt.

Teleclidi. 66

Cur æneo tauro alios etiam poſt Perillū inuentorem excruciarit

PRoprio quodam uſus conſilio, apud multos iam meos familiares diſſeruiſti, (hoc fortaſſe conſequi uolens, quod & factum eſt, ut tui ad me perferrentur ſermones) quòd non oportuerat poſt * Perilaum tauri opificē, alios etiam eo ſupplicij modo conficere. Nam ita me meam ipſius deſtruere laudem. Ego uerò, neq; ſi ob Perilai ſupplicium lauder, me uorterim: (pœnam enim non ſumpſi laudis gratia) neq; ſi uituperer ob aliorum ſupplicia, ægrè fero. Ab opinione ſiquidem turpi uel honeſta, uindicta

* Perilaū.] Dicitur etiam Perillus, faber Athenieſis, qui Phalaridi ęneum taurū dono dedit. Vide epiſt. 122.

ſeparata eſt. Quin & hoc bene ſcias, me illũ eam ob cauſam puniuiſſe, quòd etiam alios quoſdam in tauro perditurus eſſem: quoniam quòd ad æris opificium attinet, præmio, non perditione dignus erat. Iuſtum igitur, illi culpas de his, & illis qui hanc ſubire fortunam cogerentur, repoſitas eſſe. Si uerò & in nos conferuntur ab ijs qui iniquius iudicant, non ægrè ferimus, dum demonſtrare poſsimus, occiſos omnes, ſupplicio fuiſſe dignos. Nam incipite à primo qui punitus eſt, quem ego pro omnibus hominibus, imò pro ipſa humana natura combuſſi, eodem modo de omnibus inquirite. Nam ſi Perilai *ſupplicium, ceu iuſtum laudatis: etiam aliorum ſupplicia, quoſcunq; pro alienis iniurijs puniui, neutiquam conuenienter reprehendere poteritis: neq; eorum quos perfidos factos occidimus, propter exitium quod mihi ſunt machinati.* Nimirum *ſanè ualde incõſideratus eſſem, ſi eos qui alijs malè fecerunt, etiamſi mihi benefeciſſent, ſupplicio afficerem: eos uerò qui mihi ſtruxiſſent inſidias, indemnes ſinerem, infamiamq; pro ijs qui nihil ad me pertinẽt: ad hoc ut inſidiantibus terribilis eſſe uiderer, in me recipiens, in proprijs periculis contarer. Cer-*

 tiores

πεπείσμεθα δὴ περὶ τῆς ἀξιώσεώς σου, καὶ οὐ δεῖ πλείοσιν ἐνοχλεῖν. παῦσαι δὲ ἐπὶ σεαυτῷ καὶ ἐμοὶ πράγματα παρέχων.

Γαυρόλᾳ. ξζ

Ἀφικόμενος εἰς Ἱμέραν, ἀναγκαίας ἕνεκα πραγματείας, ἤκουσα τῶν Στησιχόρου θυγατέρων ποιήματα λυριζουσῶν· ἃ μὲν αὐτοῦ Στησιχόρου γεγραφότος, ἃ δὲ τῶν παρθένων ἴδια. ἦν δὲ τὰ μὲν Στησιχόρου, τὰ τῶν θυγατέρων ἥττονα· τῶν δὲ ἄλλων εἴ τινα κατὰ σύγκρισιν ἐξετασθείη, πολὺ βελτίονα, ὥστε με περισσόλβιον ἡγήσασθαι τὸν διδάξαντα, περισσολβίας δὲ καὶ τὰς παρὰ φύσιν ἐπὶ τοσοῦτον βάθος παιδείας ἀχθείσας. εἶεν δὴ Γαυρόλα. σφόδρα γὰρ καὶ διὰ ταῦτα ἐπιζητῶ μαθεῖν, τίνα δή ποτε γνώμην ἔχων, τὸ μὲν σῶμα γυμνάζεις ὅπλοις τε καὶ κυνηγεσίαις, καὶ ταῖς ἄλλαις κακοπαθείαις· τὴν δὲ ψυχὴν ἀγύμναστον ἐᾷς λόγου τε καὶ παιδείας ἑλληνικῆς, ἣν ἐχρῆν πρὸ τὴν ἐπὶ τὰ τοιαῦτα συνασκῆσαι, καὶ μόνην. σώματος μὲν γὰρ ἐπιμελητέον, ὑγείας χάριν, ἢ ἰσχύος, εἰ μή τις τῶν ἱερῶν ἀγώνων ἕνεκα ἀθλοίη. ψυχῆς δὲ πάντας τρόπους προνοεῖσθαι χρή, τὸν μέλλοντα μετὰ ἀρίστης τιμῆς ἐν δημοκρατου-

μένῃ

tiores iam facti ſumus de tuo iudicio, neq; opor tet pluribus obſtrepere. ſed deſine & tibi ipſi mihiq; negocium faceſſere. Vale.

Paurolæ filio. 67

Q*Vum perueniſſem Himeram neceſſarium ob negocium, audiui Steſichori filias poemata ad lyram canere, partim quæ ipſe Steſichorus ſcripſit, partim uirginũ propria. Erant autem uirginum, Steſichori poematis inferiora: alijs aũt, ſi qua per collationem examinarẽtur, multo meliora: ut ego ter beatũ exiſtimauerim eum, qui ita eas docuiſſet: ipſas quoq; ter beatas, quæ præter naturam ad tam profundam perductæ eſſent eruditionem. Age nunc Paurola. ualde enim & propter hæc cupio cognoſcere, quẽm nam tantum animum habens, corpus quidem exerces armis ac uenationibus, alijsq; uexationibus: animam autem inexercitatam ſinis & ſtudijs & Græca eruditione, quam primã ac ſolam ad huiuſmodi excultam ſimul eſſe oportebat. Corporis enim cura habenda eſt, ſanitatis gratia, uel roboris (niſi ſe quiſpiã ſacra ob certamina ærumnis exerceat) animæ autem habere prouidentiam omni eum modo conuenit, qui optimo cum honore in ciuitate,*

Filiũ accuſat, ꝙ negligat cultum animi, ſimulq; à ſtudio tyrannidis dehortatur.

μένῃ ζήσεσθαι πόλει. εἴ γε μὴ σὺ τοῦθ' ὃ κατηγοροῦσί τινες, ὥρμηκας ἐπὶ τὸ ζηλοῦν καὶ μιμεῖσθαι τὸν ἐν τυραννίδι βίον, ὡς προσήκοντά σοι κατὰ νόμους. καὶ δὴ τοῦτο σωματικὴν ἐπασκεῖς ῥώμην, οἰόμενος ἁρμόζουσαν εἶναί σοι τὴν ἰσχὺν, εἰς τοιαύτας δυναστείας κατάστασιν. ὅπερ ἐὰν εὖ φρονῶν τυγχάνῃς, παρὰ τοῦ μεταμελομένου περὶ μοναρχίας, οὐχ ἑκουσίως, ἀλλ' ἐξ ἀνάγκης τοῦτον ἐπανελομένου τὸν βίον, γνώμην λάβε. ὁ γὰρ ἀμφοτέρων πεπειραμένος, τυραννηθῆναι μᾶλλον ἂν εὔξαιτο, ἢ τυραννῆσαι. ὁ μὲν γὰρ, ἕνα φοβεῖται τῶν ἄλλων χαλεπῶν ἀπηλλαγμένος, τὸν τύραννον· ὁ τύραννος δὲ καὶ τοὺς ἔξωθεν ἐπιβουλεύοντας, καὶ δι' οὓς σώζεται. ἀνάγκη γὰρ αὐτὸν μετὰ τῶν πολλῶν φόβων καὶ ταλαιπωριῶν, πρὸ τούτων εὐλαβεῖσθαι τοὺς φυλάττοντας· ὥστε ἐμφρονέστερον δεξάμενος τὴν τοῦ συμβουλεύοντος πατρὸς εὔνοιαν, ἴσος ἄξιον πᾶσιν εἶναι. τὸ δὲ ἐκ φόβων διηνεκῶν καὶ κινδύνων ἀδιαπαύστων αὐτεξούσιον, ἐχθροῖς καὶ παισὶν ἐχθρῶν παράδος. εἰ δὲ ἀπειρίᾳ καὶ νεότητι τὸν ἐν τυραννίδι βίον οἴει τι τερπνὸν καὶ προσφιλὲς ἔχειν, ἀλλ' οὐ τὰς ἀνωτάτω συμφορὰς

φορὰς

tate, populari utēti gubernatione, uicturus ſit. Niſi tu hoc (quod prædicant quidam) inſtituiſti, ad ſectandam imitandamq; in tyrannide uitam, quaſi competentē tibi iuxta leges: & propterea corporis robur excolis, putãs congruere tibi ualidas uires ad huiuſmodi dominationis acquiſitionem. Cuius tu rei (ſi rectè ſapis) ab eo quem monarchiæ pœnitet, quiq; non ſpõte, ſed ex neceſſitate hanc ſuſcepit uiuendi rationem, conſilium accipe. Qui enim utramq; uitam, tyrannicam nempe ac priuatam, expertus eſt: is potius ſub tyranno, quàm tyrannũ agere optauerit. Priuatus enim unum metuit tyrannum, ab alijs liber difficilibus rebus: tyrannus autem eos quoq; qui foris ſibi ſtruunt inſidias, eoſq; à quibus ſeruatur. Neceſſe enim illi eſt, cum multis timoribus atq; miſerijs ipſis, in primis metuere ipſos cuſtodes. Itaq; prudentius cõſulentis patris amplexus beneuolentiã, uelis omnib. æqualis eſſe. Cæterùm monarchicã illam potentiã, inter timores aſſiduos periculaq; indeſinentia uerſantem, inimicis atq; inimicorum filijs dimitte. Si uerò propter inexperientiam ac iuuentutem, tyrannicam putas uitam aliquid habere iucundum ac delectabile, & non ſupremas cala-

mitates

φορᾶς καὶ κακοδαιμονίας, πάντως μὲν ἁμαρτάνεις, καὶ τοῦτο πάσχεις δι' ἄγνοιαν. εὔχου δέ σοι τὸν θεόν, μηδέποτε τυραννικῆς πεῖραν πειρασῆναι τύχης.

Τῷ αὐτῷ. ξη

Οὐχ ὑπὸ σοῦ πολλὰ νομίζω χρήματα αἰτεῖσθαι, μὰ τοὺς θεούς, ἀλλ' ἐμαυτὸν αἰδεέστερον εὑρίσκω ἤδη χρηστότητι παιδὸς ὑπηρετεῖν. εἴη μέν τοι σε εἰς ὅσα φὴς ἀναλίσκειν. καὶ οὕτω διδοὺς τῶν λυπουμένων φίλων ἀπορήσεις θᾶττον, ἢ παρὰ τοῦ πατρὸς αἰτούμενος. ὅσῳ γὰρ ἂν προηγῆται τὸ λαμπρῶς χαρίζεσθαι, ἕπεται τὸ μεγαλοφροσύνης ἀξίως κτᾶσθαι. ὅταν δὲ ἅπαξ τὸ δρᾶν πρόθυμον παρῇ τινί, τὸ κατορθοῦν ἕτοιμον αἱ τύχαι παρέχονται. μὴ δὴ καταιδούμενός με τοιούτοις παρρησιάζου λόγοις. ὡς οὐκ ἀσμένως ὀλίγα διδόντα υἱῷ, δι' ὃν τὰ πάντα προεποιησάμην. τοσοῦτον γὰρ ἀπέχω τοῦ μέμφεσθαί σε τῆς πρὸς τοὺς ἑταίρους ἐκτενείας, ὥσθ' ὑπερφυῶς ἡδόμενος, ἄξια παραινῶ σοι διανοεῖσθαι τῆς τοσαύτης φιλανθρωπίας. ἵνα μὴ μόνον πρὸς τὸ παρὸν ἧς μεγαλόφρων. συμπαραμενούσης δέ σοι τῆς αὐτῆς τύχης, ἐσαεὶ φυλάττῃς τὸ βούλημα. καὶ ὃ δίδομεν οὖν ἀσμένως,

ὧ γαν-

mitates infelicitateſq́;, omnino quidẽ aberras, hocq́; tibi ex ignorantia uſu uenit. roga autem Deum, ne tibi unquam tyrannicæ uitæ experimentum exhibeat. Vale.

Eidem. 68

Liberalitatem filij collaudat.

NOn multas te pecunias cẽſeo petiuiſſe, (ita me dij ament) ſed meipſum reperio negligentius filij benignitati ſubminiſtrare. Eſſet enim tibi, unde in ea quæ dicis poſſes expẽdere: atq; ita danti tibi citius defuturi ſunt amici qui accipiant, quàm petenti patris benignitas. Quãto enim magis prægreditur ſplendidè donãdi ſtudiũ, tanto ſequitur ut acquiras dignè tanta animi magnitudine. Quum autem ſemel aliquibus faciendi alacritas adfuerit, ijs rectè abſoluendi copiam fortuna præſtat. Ne tu igitur (me reueritus) tali utaris loquendi libertate, quaſi non libenter pauca dem filio, propter quem omnia acquiſiui. Tantum enim abeſt, ut te reprehendam ob liberalitatem in amicos: ut læter etiam ſupra modum, teq́; horter, ut digna cogites tanta humanitate: ut non ſolum ad præſens magnanimus ſis, ſed eadem tecum permanente fortuna, in perpetuum iſtud propoſitum cuſtodias. Quod ergo damus, libenter damus (gene-

ὦ γενναῖε Παύρολα, καὶ λαμβανόμενον χά-
ριν παρὰ σοῦ, τὸν τρόπον τῆς δαπάνης, οὕτως εὔελπιν καὶ χρηστὸν ὄντα.

Ερυθίᾳ. ξθ

ΕΙ μὴ εὐλαβουμένη τὸν ἐν τυραννίδι βίον, οὐ τολμᾷς εἰς ἀκράγαντα πέμψαι παυρόλαν, συγγνώμην ἔχω σοι, καὶ ὡς γυναικὶ καὶ ὡς μητρί, δεδοικυίᾳ περὶ ἀγαπητοῦ παιδός. εἰ δ' ὡς μόνη, καὶ μὴ μετ' ἐμοῦ γεγεννηκυῖα, μόνη δικαιοῖς ἔχειν αὐτὸν, ἀγνωμόνως κρίνεις τὰ περὶ γονέων. κατὰ μὲν γὰρ τὸν ἀκριβέστατον λόγον, πατρὸς ἂν εἴη παῖς μᾶλλον, ἢ μητρός. κατὰ δὲ τὸν εὐγνωμονέστερον, ἑκατέρων ἴσος. εἰ δὲ τὸ μεταδοῦναί ποτε καὶ τῷ γεγεννηκότι τὸν υἱὸν, σαυτῆς ἐλάττωσιν ἡγῇ, τί δοκεῖς τῶν μηδὲ μόνους ἀξιουμένων; κοινωνικώτερον δὴ ποιοῦσα, πέμψον αὐτὸν ὡς ἐμὲ, οὐδὲ μακρὰς ἥξοντα πρὸς σὲ, ἀλλὰ θᾶττον, καὶ μεθ' ὅσων δεῖ Φαλάριδος καὶ ἐρυθίας παῖδα· ἵνα εἰ καὶ μὴ μετ' ἐμοῦ, μετ' ἀλλήλων γοῦν ἐν ἀφθονίᾳ πλούτου βιωτεύητε. εἰς τίνας γὰρ ἄν τις ἀναγκαιοτέρους εὔξαιτο περιουσιάζειν, γυναικὸς ἢ παιδὸς οὐκ ἐπιμελῆ θείς; ἐγὼ δὲ περὶ ὑμᾶς ἐσπουδακὼς ὡς εἰκὸς ἄνδρα καὶ πατέρα, βούλομαι τῶν παρ' ἐμοὶ χρημάτων

μοῖραν

(*generoſe Paurola*) *& refertur nobis abs te gratia expenſorum modò, ita bonæ ſi ei pleno atq; benigno. Vale.*

Erythiæ uxori. 69

